καὶ ἀνεβόησαν, καὶ ἀνέβη ἡ βοὴ αὐτῶν πρὸς τὸν θεὸν ἀπὸ τῶν
ἔργων. 24καὶ εἰσήκουσεν ὁ θεὸς τὸν στεναγμὸν αὐτῶν, καὶ ἐμνή- 24
σθη ὁ θεὸς τῆς διαθήκης αὐτοῦ τῆς πρὸς Αβρααμ καὶ Ισαακ καὶ
Ιακωβ. 25καὶ ἐπεῖδεν ὁ θεὸς τοὺς υἱοὺς Ισραηλ καὶ ἐγνώσθη αὐτοῖς. 25
1Καὶ Μωυσῆς ἦν ποιμαίνων τὰ πρόβατα Ιοθορ τοῦ γαμβροῦ 3
αὐτοῦ τοῦ ἱερέως Μαδιαμ καὶ ἤγαγεν τὰ πρόβατα ὑπὸ τὴν ἔρημον
καὶ ἦλθεν εἰς τὸ ὄρος Χωρηβ. 2ὤφθη δὲ αὐτῷ ἄγγελος κυρίου ἐν 2
φλογὶ πυρὸς ἐκ τοῦ βάτου, καὶ ὁρᾷ ὅτι ὁ βάτος καίεται πυρί, ὁ
δὲ βάτος οὐ κατεκαίετο. 3εἶπεν δὲ Μωυσῆς Παρελθὼν ὄψομαι τὸ 3
ὅραμα τὸ μέγα τοῦτο, τί ὅτι οὐ κατακαίεται ὁ βάτος. 4ὡς δὲ εἶδεν 4
κύριος ὅτι προσάγει ἰδεῖν, ἐκάλεσεν αὐτὸν κύριος ἐκ τοῦ βάτου
λέγων Μωυσῆ, Μωυσῆ. ὁ δὲ εἶπεν Τί ἐστιν; 5καὶ εἶπεν Μὴ ἐγγί- 5
σῃς ὧδε· λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος, ἐν
ᾧ σὺ ἕστηκας, γῆ ἁγία ἐστίν. 6καὶ εἶπεν αὐτῷ Ἐγώ εἰμι ὁ θεὸς 6
τοῦ πατρός σου, θεὸς Αβρααμ καὶ θεὸς Ισαακ καὶ θεὸς Ιακωβ.
ἀπέστρεψεν δὲ Μωυσῆς τὸ πρόσωπον αὐτοῦ· εὐλαβεῖτο γὰρ κατ-
εμβλέψαι ἐνώπιον τοῦ θεοῦ. 7εἶπεν δὲ κύριος πρὸς Μωυσῆν 7
Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ καὶ τῆς
κραυγῆς αὐτῶν ἀκήκοα ἀπὸ τῶν ἐργοδιωκτῶν· οἶδα γὰρ τὴν ὀδύ-
νην αὐτῶν· 8καὶ κατέβην ἐξελέσθαι αὐτοὺς ἐκ χειρὸς Αἰγυπτίων 8
καὶ ἐξαγαγεῖν αὐτοὺς ἐκ τῆς γῆς ἐκείνης καὶ εἰσαγαγεῖν αὐτοὺς
εἰς γῆν ἀγαθὴν καὶ πολλήν, εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι, εἰς
τὸν τόπον τῶν Χαναναίων καὶ Χετταίων καὶ Αμορραίων καὶ Φερε-
ζαίων καὶ Γεργεσαίων καὶ Ευαίων καὶ Ιεβουσαίων. 9καὶ νῦν ἰδοὺ 9
κραυγὴ τῶν υἱῶν Ισραηλ ἥκει πρός με, κἀγὼ ἑώρακα τὸν θλιμ-
μόν, ὃν οἱ Αἰγύπτιοι θλίβουσιν αὐτούς. 10καὶ νῦν δεῦρο ἀποστεί- 10
λω σε πρὸς Φαραω βασιλέα Αἰγύπτου, καὶ ἐξάξεις τὸν λαόν μου
τοὺς υἱοὺς Ισραηλ ἐκ γῆς Αἰγύπτου. — 11καὶ εἶπεν Μωυσῆς πρὸς 11
τὸν θεόν Τίς εἰμι, ὅτι πορεύσομαι πρὸς Φαραω βασιλέα Αἰγύπτου,
καὶ ὅτι ἐξάξω τοὺς υἱοὺς Ισραηλ ἐκ γῆς Αἰγύπτου; 12εἶπεν δὲ ὁ 12
θεὸς Μωυσεῖ λέγων ὅτι Ἔσομαι μετὰ σοῦ, καὶ τοῦτό σοι τὸ ση-
μεῖον ὅτι ἐγώ σε ἐξαποστέλλω· ἐν τῷ ἐξαγαγεῖν σε τὸν λαόν μου
ἐξ Αἰγύπτου καὶ λατρεύσετε τῷ θεῷ ἐν τῷ ὄρει τούτῳ. 13καὶ εἶ- 13
πεν Μωυσῆς πρὸς τὸν θεόν Ἰδοὺ ἐγὼ ἐλεύσομαι πρὸς τοὺς υἱοὺς
Ισραηλ καὶ ἐρῶ πρὸς αὐτούς Ὁ θεὸς τῶν πατέρων ὑμῶν ἀπέ-

25 εισιδεν A

3 1 ηγαγεν] ηγεν A || 2 αυτω > A | φλογι πυρος] πυρι φλογος B || 3 τι > B || 5 και] ο δε B | συ > A || 6 αυτω] > B, in *O* sub ÷ | θεος 2°] pr. ο A || 8 και εισαγ. αυτους > A | γεργεσαιων .. ευαιων] tr. A || 11 ειμι] + εγω B (in *O* sub ※) || 12 ο — λεγων > A | εξαποστελλω compl.] -στελω B, εξ > A | εξαγαγ. σε] tr. A | μου > A* || 13 εξελευσομαι B† | υμων (cf. 15. 16)] ημων B